UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Esaiæ militi. 307.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἀπορεῖν ἅπαντας εἴ τις ἑάλωκεν. ὅτε μὲν γὰρ περὶ τοὺς συνδούλους ἡ μανία ἐθήγετο, μετρίως ἐσωφρονίζοντο· ὅτε δὲ κατὰ τοῦ δεσπότου ἐμάνησαν, ὡς συγγνώμης μείζονα πταίσαντες πανωλεθρίᾳ παρεδόθησαν. οἱ μὲν γὰρ πυρὸς καὶ σιδήρου, οἱ δὲ λιμοῦ ἔργον ἐγένοντο. οἱ δὲ περιλειφθέντες διὰ τοῦτο περιεῖναι συνεχωρήθησαν, ἵνα καὶ τὰς τοῦ πολέμου τραγῳδήσωσι συμφοράς, καὶ ὥσπερ αἰχμάλωτοι μαστιγίαι τὴν ὑφ᾽ ἡλίῳ περιϊόντες, ἴδωσι πανταχόσε ἀνθοῦν σταυρωθέντος τὸ σέβας.

numerus inuentus est, vt omnes ambigerent, an quisquã captus fuisset. Cùm enim aduersus conseruos duntaxat eorum furor acueretur, parciùs plectebantur. At cùm aduersus Dominum furor ipsorum exarsisset, tum verò, vt eiusmodi scelere admisso, quod veniam omnem superaret, internetioni addicti sunt. Alij enim flamma & ferro, alij fame oppressi sunt. Qui autem cladi superfuerunt, ob id tantummodò superesse permissi sunt, vt & belli calamitates tragicum in modum deplorarent, & velut captiui quidam verberones orbem vniuersum peragrantes, Crucifixi cultum ad venerationem omnibus in locis florentem prospicerent.

Κυρίλλῳ ἐπισκόπῳ. τϛ.

Ὥσπερ βασιλεὺς ὑπὸ τῶν νόμων ἀρχόμενος, ἔμψυχός ἐστι νόμος· οὕτω καὶ ἱερεὺς ὑπὸ τῶν θεσμῶν βασιλευόμενος, κανών ἐστιν ἄφθογγος.

*Cyrillo Episcopo.* 306.

Quemadmodum rex, qui legibus paret, viua lex est: eodem modo sacerdos quoque qui sanctionum Ecclesiasticarum imperio subest, tacita norma & regula est.

Ἠσαΐᾳ στρατιώτῃ. τζ.

Ὥσπερ οἱ γνήσιοι καὶ διάπυροι τῆς σωφροσύνης ἐρασταὶ ἐκ τῆς οἰκείας ἁγνείας, καὶ περὶ τῶν ἄλλων καὶ περὶ μὴ ὄντων τοιούτων πολλάκις καθαρὰς τὰς ψήφους φέρουσι, καὶ οὐδένα ἡγοῦνται ἀκόλαστον εἶναι· οὕτω καὶ οἱ τῷ τῆς ἀσελγείας οἴστρῳ λυττῶντες, ὧν εἷς καὶ αὐτός, ὥς φασι, τυγχάνεις, ἐκ τῆς σφῶν λαγνείας, καὶ τοὺς μὴ ὄντας, τοιούτους εἶναι ψηφίζονται. ἕκαστοι γὰρ ἐκ τῶν καθ᾽ ἑαυτούς, καὶ τὰς περὶ τῶν ἄλλων φέρουσι ψήφους.

*Esaiæ militi.* 307.

Quemadmodum synceri atque ardentes pudicitiæ amatores ex sua castitate de aliis etiam, quamuis minimè tales sint, puras sententias ferunt, nec impudicũ quenquam esse arbitrantur: eodem modo qui libidinis œstro tanquam rabie quadam agitantur (quorum te quoque vnũ esse aiunt) ex petulanti sua libidine alios, etiam qui non sunt, tales esse iudicãt. Vtrique enim ex suis moribus de aliorum quoque moribus calculum ferunt.

Ἀμμωνίῳ τριβούνῳ. τη.

Καὶ ὁ καιρὸς τῆς πανηγύρεως ἐπαληθεύων ἑαυτὸν εὐμοιρίᾳ φύσεως κεκόσμηται. ἵνα γὰρ παρῶ τὸ τῶν ψυχῶν ἔαρ, τὸ μετὰ τὸν χειμῶνα τῶν ἁμαρτημάτων ἀνθῆσαν, οὐδὲ τὸ τῶν σωμάτων ἔξω θαύματος καθέστηκε· τῆς γὰρ χειμερίου δυσκρασίας δεύτερον ὁρμηθέν, τῆς θερινῆς ὀχλήσεως προτρέχει, ἵνα δείξῃ, ὅτι ὁ τοῦ χειμῶνος

*Ammonio tribuno.* 308.

Et festi quoque dies tempus suo nomini respondens, naturæ felicitate ornatum est. Vt enim animorum ver, quod post peccatorum hyemem floruit, missum faciam, ne illud quidem, quo corpora vtuntur, admiratione caret. Siquidem hybernam intemperiem subsequens, æstiuam molestiam antecedit: quò nimirum illud ostendit, quòd qui scelerum hyeme de-